# Bion 9

William S. Annis
Aoidoi.org[*]

February 7, 2012

ταὶ Μοῖσαι τὸν Ἔρωτα τὸν ἄγριον οὐ φοβέονται
ἐκ θυμῶ δὲ φιλεῦντι καὶ ἐκ ποδὸς αὐτῷ ἕπονται.
κἢν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον ἀείδῃ,
τῆνον ὑπεκφεύγοντι καὶ οὐκ ἐθέλοντι διδάσκειν·
ἢν δὲ νόον τις Ἔρωτι δονεύμενος ἁδὺ μελίσδῃ,
ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι.
μάρτυς ἐγὼν ὅτι μῦθος ὅδ᾽ ἔπλετο πᾶσιν ἀλαθής·
ἢν μὲν γὰρ βροτὸν ἄλλον ἢ ἀθανάτων τινὰ μέλπω,
βαμβαίνει μοι γλῶσσα καὶ ὡς πάρος οὐκέτ᾽ ἀείδει·
ἢν δ᾽ αὖτ᾽ ἐς τὸν Ἔρωτα καὶ ἐς Λυκίδαν τι μελίσδω,
καὶ τόκα μοι χαίροισα διὰ στόματος ῥέει αὐδά.

[*]This work is licensed under the Creative Commons Attribution-ShareAlike License. To view a copy of this license, visit `http://creativecommons.org/licenses/by-sa/3.0/`.

[1]This poem is written in the Bucolic Doric dialect. **ταί** = αἱ. **Μοῖσαι** = Μοῦσαι, the muses. **Ἔρως ωτος ὁ** *Eros.* **ἄγριος (α) ον** *wild, fierce, savage.* **φοβέω** pres.mid.3pl. *put to flight, terrify;* mid. *fear, stand in awe of.*

[2]**ἐκ θυμῶ** = ἐκ θυμοῦ *from the heart, with all one's heart.* **ἐκ ποδός** with ἕπομαι, follow *close behind.* **ἕπομαι** *follow* + dat.

[3]**κἤν** = κἄν = καὶ ἐάν. **ψυχάν** = ψῡχήν. **ἀνέραστος ον** *loveless, not loving,* with ψυχάν.

[4]**τῆνον** = ἐκεῖνον, *i.e.,* l.3 τις. **ὑπ-εκ-φεύγω** pres.act.3pl. *flee from, escape;* the subject is l.1 Μοῦσαι. **ἐθέλοντι** = ἐθέλουσι.

[5]**Ἔρωτι** dat. of instrument. **δονέω** pres.act.part. *shake, disturb;* of love *agitate, excite.* **ἁδύ** = ἡδύς εἶα ύ *sweet, lovely, dear,* here adv. **μελίσδῃ** = μελίζῃ: μελίζω *sing.*

[6]**τῆνον** see l.4. **ἐπείγω** *press, drive on;* pass. *hurry, be eager (for).* **προ-ρέω** *pour forth.*

[7]**μάρτυς υρος ὁ** *witness.* **ἐγών** = ἐγώ; supply εἰμί. **πέλομαι** aor.mid.3sg. *become, be;* in aor. *be.* **ἀλᾱθής** = ἀληθής.

[8]**ἤν** = ἐάν. **βροτός ὁ** *mortal, human.* **μέλπω** *sing, celebrate with song.*

[9]**βαμβαίνω** *chatter the teeth; stammer.* **πάρος** *formerly;* with pres. *up to now.*

[10]**αὖτε** here, *on the other hand.* **μελίσδω** see l.5.

[11]**τόκα** = τότε. **χαίρω** pres.act.part. nom.sg.f. *rejoice, be glad.* **στόμα τό** *mouth.* **ῥέω** *flow.* **αὐδά** = αὐδή ἡ *human voice, speech; sound; song.*